UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

XL. Quomodo Proculus Maximiano successerit.

**urn:nbn:de:hbz:466:1-14233**

Visual Library

μὴ ὁ σύμπας ἐμπρησμὸς, πολλὰ μέρη καταναλώσας τῆς πόλεως· ἡ δὲ ἐκκλησία ἑωρᾶτο ἀκέραιος· καὶ τό γε θαυμαστὸν, ὅτι μηδὲ καπνοῦ ἴχνος ἦν ἰδεῖν ἐν τοῖς ξύλοις ἢ τοίχοις αὐτῆς· τοῦτο μὲν οὖν γέγονε περὶ τὴν ἑπτακαιδεκάτην τοῦ αὐγούστου μηνὸς, ἐν ὑπατείᾳ θεοδοσίου τὸ τεσσαρεσκαιδέκατον, καὶ μαξίμου· ναυατιανοὶ δὲ σῶστρα τῆς ἐκκλησίας ἐξ ἐκείνου καθ' ἕκαστον ἔτος ἐπιτελοῦσι, περὶ τὴν ἑπτακαιδεκάτην τοῦ αὐγούστου μηνὸς, εὐχαριστηρίους εὐχὰς πέμποντες τῷ θεῷ· σχεδόν τε πάντες διὰ τὸ ἐπ' αὐτῆς συμβὰν θαῦμα, τιμῶσιν ἐξ ἐκείνου τὸν τόπον, καὶ ὡς ἀληθῶς ἅγιον προσκυνοῦσιν, οὐ μόνον χριστιανοὶ, ἀλλὰ καὶ τῶν ἑλληνιζόντων οἱ πλείονες· τοσαῦτα μὲν οὖν περὶ τούτων.

A prorsus restinctum est, quo magna pars
civitatis conflagravit. Ecclesia vero illæsa atque integra cernebatur. Et quod
magis mirandum est, ne fumi quidem
vestigium in lignis ejus & parietibus apparebat. Id accidit die XVI. Calendas Septembris, Theodosio XIV. &
Maximo Consulibus. Ex eo tempore
Novatiani conservatæ Ecclesiæ suæ memoriam celebrant quot annis, die XVI.
Calendas Septembres, gratia cum precibus Deo persolventes. Sed & omnes
non Christiani solum, verum etiam plerique Gentilium, ob miraculum quod
B ibi gestum est, loco exinde honorem
habent, eumque velut sacrosanctum venerantur. Sed de his hactenus.

## Κεφ. μ'.

Ὡς μαξιμιανὸν ἐπίσκοπον διαδέχεται πρόκλος.

Μαξιμιανὸς δὲ δύο ἐνιαυτοὺς πρὸς τοῖς πέντε μησὶν ἡσύχως τῆς ἐκκλησίας προστὰς, ἐτελεύτησεν ἐν ὑπατείᾳ ἀρεοβίνδου καὶ ἄσπαρος, τῇ δωδεκάτῃ τοῦ ἀπριλλίου μηνός. συνέβη δὲ ἐν αὐτῇ τὴν ἑβδομάδα εἶναι τῶν νηστειῶν, τὴν γειτνιάζουσαν τῇ τοῦ πάσχα ἑορτῇ· ἡμέρα δὲ ἦν καλουμένη πέμπτη. τότε δὴ καὶ ὁ βασιλεὺς θεοδόσιος, σοφῶς τοῦ πράγματος προενόησεν· ἵνα γὰρ μὴ πάλιν περὶ ἐπιλογῆς ἐπισκόπου ζήτησις ᾖ, καὶ ταραχὴν τῇ ἐκκλησίᾳ κινήσῃ, μὴ μελλήσας, ἀλλ' ἔτι κειμένου τοῦ σώματος μαξιμιανοῦ, τοῖς παροῦσιν ἐπισκόποις ἐνθρονίσαι τὸν πρόκλον ἐπέτρεψεν· τοῦτο γὰρ καὶ τοῦ ἐπισκόπου τῶν ῥωμαίων κελεστίνου ἐπιστολαὶ παροῦσαι ἐγίνοντο σύμψηφοι, ἃς ἐκεῖνος ἀπεστάλκει κυρίλλῳ τε τῷ ἀλεξανδρείας, καὶ ἰωάννῃ τῷ ἀντιοχείας, καὶ ῥούφῳ τῷ θεσσαλονίκης, διδάσκων ὡς οὐδὲν κωλύει τόν τε ἑτέρας πόλεως ὀνομασθέντα ἢ καὶ ὄντα ἐπίσκοπον, εἰς ἄλλην μετατίθεσθαι· ἐνθρονισθεὶς οὖν ὁ πρόκλος, τὴν ἐκκομιδὴν τοῦ μαξιμιανοῦ σώματος ἐποιήσατο· καιρὸς δὲ ἤδη, καὶ περὶ αὐτοῦ βραχέα διεξελθεῖν.

## Caput XL.

*Quomodo Proclus Maximiano successerit.*

Maximianus vero cum per biennium ac menses quinque Ecclesiam pacate administrasset, fato functus
C est, Areobindo & Aspare Consulibus,
pridie Idus Apriles. Erat tunc septimana jejuniorum, quæ festum Paschale proxime antecedit: ejusque septimanæ feria agebatur quinta. Quo quidem tempore Imperator Theodosius prudenter huic negotio prospexit. Etenim ne rursus de eligendo Episcopo ambigeretur, eaque res tumultum in Ecclesia excitaret; absque ulla cunctatione, nondũ deposito Maximiani corpore, Episcopis qui aderant mandavit, ut Proclum in Episcopali solio collocarent. Id enim Cælestini quoque Epi-
D scopi Romani literæ tunc exhibitæ confirmabant, quas ille Cyrillo Alexandriæ Episcopo & Joanni Antiocheno & Rufo Thessalonicensi in eam rem miserat: docens nihil obstare quo minus is qui alicujus Ecclesiæ nominatus sit, aut re ipsa existat Episcopus, ad aliam Ecclesiam transferatur. Itaque Proclus in sede Episcopali collocatus, corpus Maximiani sepulturæ tradidit. Sed nunc tempus est ut de illo pauca dicamus.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN